ἐστι μήκει ἡ ΒΓ. ἀλλὰ συναμφότερος ἡ ΒΖ, ΔΓ τῇ ΔΓ σύμ-
μετρός ἐστι μήκει· καὶ ἡ ΒΓ ἄρα τῇ ΔΓ ἀσύμμετρός ἐστι
μήκει· ὥστε καὶ διελόντι ἡ ΒΔ τῇ ΔΓ ἀσύμμετρός ἐστι
μήκει. ἐὰν ἄρα ὦσιν δύο εὐθεῖαι καὶ τὰ ἑξῆς.

Ἐπεὶ δέδεικται ὅτι αἱ μήκει σύμμετροι πάντως καὶ δυ-
νάμει εἰσὶ σύμμετροι, αἱ δὲ δυνάμει οὐ πάντως καὶ
μήκει, ἀλλὰ δὴ καὶ δύνανται καὶ μήκει σύμμετροι εἶ-
ναι καὶ ἀσύμμετροι, φανερὸν ὅτι ἐὰν τῇ ἐκκειμένῃ
ῥητῇ σύμμετρός τις ᾖ, μήκει λέγεται ῥητὴ καὶ
σύμμετρος αὐτῇ οὐ μόνον μήκει ἀλλὰ καὶ δυνάμει· αἱ
γὰρ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐὰν δὲ
τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρός τις ᾖ δυνάμει,
εἰ μὲν καὶ μήκει, λέγεται οὕτως ῥητὴ καὶ σύμμετρος αὐτῇ
μήκει καὶ δυνάμει· εἰ δὲ τῇ ἐκκειμένῃ πάλιν ῥητῇ
σύμμετρός τις οὖσα δυνάμει μήκει ᾖ αὐτῇ ἀσύμμε-
τρος, λέγεται καὶ οὕτως ῥητὴ δυνάμει μόνον σύμμε-
τρος. ῥηταὶ γὰρ κατὰ τὰς τῇ ἐκκειμένῃ ῥητῇ
ἤτοι μήκει καὶ δυνάμει συμμέτρους ἢ καὶ δυνάμει μό-
νον. εἰ δὲ καὶ ἄλλαι εὐθεῖαι αἱ μήκει μὲν ἀσυμμέ-
τροι ὦσι τῇ ἐκκειμένῃ ῥητῇ, δυνάμει δὲ μό-
νον σύμμετροι, καὶ διὰ τοῦτο πάλιν λέγονται ῥηταὶ
καὶ σύμμετροι πρὸς ἀλλήλας καθὸ ῥηταί· ἀλλὰ
σύμμετροι πρὸς ἀλλήλας ἤτοι μήκει δηλαδὴ καὶ
δυνάμει ἢ δυνάμει μόνον· καὶ εἰ μὲν μήκει, λέγον-
ται καὶ αὐταὶ ῥηταὶ μήκει σύμμετροι, ἀκουομέ-
νου ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον, πρὸς ἀλ-

λήλας εἰσὶ σύμμετροι· λέγονται καὶ αὐταὶ ῥηταὶ δυνάμει μό-
νον σύμμετροι. ὅτι δὲ αἱ ῥηταὶ σύμμετροί εἰσιν, ἐντεῦ-
θεν δῆλον. ἐπεὶ γὰρ ῥηταί εἰσιν αἱ τῇ ἐκκειμένῃ
ῥητῇ σύμμετροι, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις
ἐστὶ σύμμετρα, αἱ ἄρα ῥηταὶ σύμμετροί εἰσιν.

ιθ Τὸ ὑπὸ ῥητῶν μήκει συμμέτρων εὐθειῶν κατά τινα τῶν προ-
ειρημένων τρόπων περιεχόμενον ὀρθογώνιον ῥη-
τόν ἐστιν. ὑπὸ γὰρ ῥητῶν μήκει συμμέτρων εὐθειῶν
τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ. λέγω ὅτι
ῥητόν ἐστι τὸ ΑΓ. ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τε-
τράγωνον τὸ ΑΔ· ῥη-
τὸν ἄρα ἐστὶ τὸ ΑΔ. καὶ
ἐπεὶ σύμμετρός ἐστιν ἡ
ΑΒ τῇ ΒΓ μήκει, ἴση
δέ ἐστιν ἡ ΒΑ τῇ ΒΔ μή-
κει, καί ἐστιν ὡς ἡ ΒΔ πρὸς
τὴν ΒΓ οὕτως τὸ ΔΑ
πρὸς τὸ ΑΓ, σύμμετρον
ἄρα ἐστὶ τὸ ΔΑ τῷ ΑΓ. ῥητὸν δὲ τὸ ΔΑ· ῥητὸν ἄρα
ἐστὶ καὶ τὸ ΑΓ. τὸ ἄρα ὑπὸ ῥητῶν καὶ τὰ ἑξῆς.

κ Ἐὰν ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, πλάτος ποιεῖ
ῥητὴν καὶ σύμμετρον τῇ παρ' ἣν παράκειται μήκει.
ῥητὸν γὰρ τὸ ΑΓ παρὰ ῥητὴν κατά τινα πάλιν
τῶν προειρημένων τρόπων τὴν ΑΒ παραβεβλήσθω,
πλάτος ποιοῦν τὴν ΒΓ. λέγω ὅτι ῥητή ἐστιν ἡ ΒΓ
καὶ σύμμετρος τῇ ΒΑ μήκει. ἀναγεγράφθω γάρ



